περισπωμένη ῀. χρόνοι δὲ δύο· μακρὰ ¯, καὶ βραχεῖα ˘. πνεύματα δύο· δασεῖα ‘, καὶ ψιλὴ ’. πάθη δὲ τρία· ἀπόστροφος ’, ὑφὲν ‿, καὶ ὑποδιαστολή.

Ἡ ὀξεῖα τόπους, ἤ συλλαβὰς ἔχει τρεῖς· τὴν ἐπὶ τέλους, ἤγουν τὴν λήγουσαν, καὶ παρὰ τοῦτο λέγεται ἡ λέξις ὀξύτονος, οἷον καλός, σοφός· τὴν πρὸ τοῦ τέλους, τουτέστι τὴν παραλήγουσαν, ἡ παροξύτονος, ἢ καὶ βαρύτονος, ὅτε παρατέλευτος καλεῖται· οἷον Ἰωάννης, πέτρος. καὶ τὴν τρίτην ἀπὸ τοῦ τέλους, ἣν ὀνομάζομεν προπαραλήγουσαν· ἡ δὲ λέξις προπαροξύτονος, καὶ βαρύτονος· οἷον Γρηγόριος, Θεόδωρος.

Ἡ περισπωμένη τόπους, ἤ συλλαβὰς ἔχει δύο· τὴν ἐπὶ τοῦ τέλους· οἷον Θωμᾶς, Λουκᾶς· καὶ καλεῖται ὄνομα περισπώμενον. καὶ τὴν πρὸ μιᾶς τοῦ τέλους· οἷον κῆπος, δῆμος· καὶ καλεῖται προπερισπώμενον. πλὴν τῶν συνθέτων ἐκ τοῦ ὑποτακτικοῦ ἄρθρου, καὶ τοῦ τὶς ἀορίστου· οἷον ὅστις, οὗτινος, ᾧτινι, ἧστινος, ᾗτινι, καὶ τινῶν ποιητικῶν· οἷον τοῖσδεσι, ταῖσδεσιν ἐν προπαραληγούσῃ περισπωμένην ἐχόντων.

Ἡ δὲ βαρεῖα συλλαβικὸς τόνος ἐστὶ, καὶ οὐ κυρίως, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπιτέλους ἐτίθετο· ἀλλ᾽ ἐξ ἔθους παρ᾽ ἅπασι τοῦτο νῦν οὐ γίνεται, ἀλλ᾽ εἰς τὸν τὸν τόπον τῆς ὀξείας ἐν τῇ συντάξει, ἢ συνθέσει τοῦ λόγου γίνεται· οἷον ἄνος καλός· ἰδοὺ εἰς τὸ λός, ἐτέθη ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπῃς καλὸς ἄνος, ἰδοὺ ὧδε, εἰς τὸ λὸς ἐτέθη βαρεῖα διὰ τὴν σύνταξιν, ἢ συνεχολούθησιν καὶ ἀποκρέμασιν τῆς λέξεως, καὶ τῆς διανοίας· οὐκοῦν ἐτέθη βαρεῖα ἐπεὶ οὐκ ἔτυχεν ἐγκλιτικόν τι τῇ συντάξει ταύτῃ καλὸς ἄνος. καθ᾽ ὁμαλισμὸν δὲ ἀναγινώσκεται.

Λέγεται δὲ ἡ βαρεῖα συλλαβικὸς τόνος, διότι κἂν γράφηται ἐπὶ τῆς ληγούσης, κἂν μὴ ἀεὶ προσεπινοῆται. Καλεῖται δὲ ἡ λέξις βαρύτονος, οὐ διὰ τὸν γεγραμμένον τόνον ἐπὶ τῆς παραληγούσης, ἀλλὰ διὰ τὸν ἐπινενοημένον ἐπὶ τῆς ληγούσης· καὶ γὰρ τῆς ὁρμῆς

τοῦ